εἰρήνῃ λέγειν. » Καὶ τὸν Ἀριστοφάνη, γελάσαντα, εἰπεῖν· « Εὖ λέγεις, ὦ Ἐρυξίμαχε, καί μοι ἔστω ἄρρητα τὰ εἰρημένα. Ἀλλὰ μή με φύλαττε, ὡς ἐγὼ φοβοῦμαι περὶ τῶν μελλόντων ῥηθήσεσθαι, οὔ τι μὴ γελοῖα εἴπω (τοῦτο μὲν γὰρ ἂν κέρδος εἴη καὶ τῆς ἡμετέρας μούσης ἐπιχώριον), ἀλλὰ μὴ καταγέλαστα. — Βαλών γε, φάναι, ὦ Ἀριστόφανες, οἴει ἐκφεύξεσθαι. Ἀλλὰ πρόσεχε τὸν νοῦν καὶ
c οὕτως λέγε ὡς δώσων λόγον· ἴσως μέντοι, ἂν δόξῃ μοι, ἀφήσω σε.

— Καὶ μήν, ὦ Ἐρυξίμαχε, εἰπεῖν τὸν Ἀριστοφάνη, ἄλλῃ γέ πῃ ἐν νῷ ἔχω λέγειν ἢ ᾗ σύ τε καὶ Παυσανίας εἰπέτην. Ἐμοὶ γὰρ δοκοῦσιν ἄνθρωποι παντάπασι τὴν τοῦ Ἔρωτος δύναμιν οὐκ ᾐσθῆσθαι, ἐπεὶ αἰσθανόμενοί γε μέγιστ' ἂν αὐτοῦ ἱερὰ κατασκευάσαι καὶ βωμούς, καὶ θυσίας ἂν ποιεῖν μεγίστας, οὐχ ὥσπερ νῦν τούτων οὐδὲν γίγνεται περὶ αὐτόν, δέον πάντων μάλιστα γίγνεσθαι.
d Ἔστι γὰρ θεῶν φιλανθρωπότατος, ἐπίκουρός τε ὢν τῶν ἀνθρώπων καὶ ἰατρὸς τούτων ὧν ἰαθέντων μεγίστη εὐδαιμονία ἂν τῷ ἀνθρωπείῳ γένει εἴη. Ἐγὼ οὖν πειράσομαι ὑμῖν εἰσηγήσασθαι τὴν δύναμιν αὐτοῦ, ὑμεῖς δὲ τῶν ἄλλων διδάσκαλοι ἔσεσθε.

« Δεῖ δὲ πρῶτον ὑμᾶς μαθεῖν τὴν ἀνθρωπίνην φύσιν καὶ τὰ παθήματα αὐτῆς· ἡ γὰρ πάλαι ἡμῶν φύσις οὐχ αὐτὴ ἦν ἥπερ νῦν, ἀλλ' ἀλλοία. Πρῶτον μὲν γὰρ τρία ἦν τὰ γένη τὰ τῶν ἀνθρώπων, οὐχ ὥσπερ νῦν δύο, ἄρρεν καὶ θῆλυ·

b 5 μή με : μή γε Badham || 6 ῥηθήσεσθαι : ἡττηθήσ. B (sed ἡ,τ extra u.) ἤδη ῥ. Rettig ἔτι ῥ. coni. Bury || **c** 1 οὕτως : -τω Y || 4 ᾗ : ᾗ B ᾗ B² (em.) Y || 5 εἰπέτην : εἴπετον Blass || ἄνθρωποι **Bekker** : ἄνθρ. BTY οἱ ἄ. W || 7 καὶ βωμούς : del. Blass || **d** 5 ἔσεσθε : -σθαι T || 6 δὲ : om. Eus.ⁿ δὴ Blass || 7 πάλαι (et Eus. Stob.) : παλαιὰ Blass || οὐχ : οὐχὶ Eus.ⁿ || αὐτὴ : αὕτη TW Stob. αὐτὴ Y ἡ αὐ. Eus. Blass || ἦν : om. W || 8 ἀλλ' : -ὰ T || ἀλλοία B²T²W² (et Stob.) : -οῖα TW -οια B ἄλλη Eus. || πρῶτον : -τα W || τὰ (et Stob.) : om. W Eus. || 9 δύο (et Eus.) : om. Stob.ⁿ.

sonst ganz in Frieden geredet haben könntest. – Darauf habe Aristophanes lachend entgegnet: Wohl gesprochen, Eryximachos, und das Gesagte soll mir ungesagt sein. Also laure mir nicht auf, da ich ohnehin schon besorgt bin um das, was ich zu sagen denke, nicht, ob ich nicht Lächerliches sagen werde, denn das wäre ja ein Gewinn und meiner Muse einheimisch, sondern ob nicht Belachenswertes. – Nachdem du abgeschossen, habe jener gesagt, denkst du zu entkommen, Aristophanes? Gib nur wohl acht und rede wie einer, der sich wird verantworten müssen. Vielleicht indes, wenn c es mir ansteht, lasse ich dich auch durch.

Allerdings, habe also Aristophanes gesagt, habe ich im Sinne, ganz anders zu reden, als ihr beide, du und Pausanias, gesprochen habt. Denn mir scheinen die Menschen durchaus der wahren Kraft des Eros nicht innegeworden zu sein. Denn wären sie es, so würden sie ihm die herrlichsten Heiligtümer und Altäre errichten und die größten Opfer bereiten, und es würde nicht wie jetzt gar nichts dergleichen für ihn geschehen, dem es doch ganz vorzüglich geschehen sollte. Denn er ist der menschenfreundlichste unter den Göttern, da d er der Menschen Beistand und Arzt ist in demjenigen, aus dessen Heilung die größte Glückseligkeit für das menschliche Geschlecht erwachsen würde. Ich also will versuchen, euch seine Kraft zu erklären, und ihr sollt dann die Lehrer der übrigen sein.

5.1 *Das ursprüngliche Menschengeschlecht und die Entstehung der Liebe*

Zuerst aber müßt ihr die menschliche Natur und deren Begegnisse recht kennenlernen. Unsere ehemalige Natur war nämlich nicht dieselbe wie jetzt, sondern ganz eine andere. Denn erstens gab es drei Geschlechter von Menschen, nicht wie jetzt nur zwei, männliches und weibliches, sondern es gab

e ἀλλὰ καὶ τρίτον προσῆν, κοινὸν ὂν ἀμφοτέρων τούτων, οὗ νῦν ὄνομα λοιπόν, αὐτὸ δὲ ἠφάνισται· ἀνδρόγυνον γὰρ ἓν τότε μὲν ἦν, καὶ εἶδος καὶ ὄνομα ἐξ ἀμφοτέρων κοινὸν τοῦ τε ἄρρενος καὶ θήλεος· νῦν δ' οὐκ ἔστιν ἀλλ' ἢ ἐν ὀνείδει ὄνομα κείμενον. Ἔπειτα ὅλον ἦν ἑκάστου τοῦ ἀνθρώπου τὸ εἶδος, στρογγύλον νῶτον καὶ πλευρὰς κύκλῳ ἔχον· χεῖρας δὲ τέτταρας εἶχε καὶ σκέλη τὰ ἴσα ταῖς χερσί· καὶ
190 a πρόσωπα δύο ἐπ' αὐχένι κυκλοτερεῖ, ὅμοια πάντῃ, κεφαλὴν δ' ἐπ' ἀμφοτέροις τοῖς προσώποις ἐναντίοις κειμένοις μίαν· καὶ ὦτα τέτταρα, καὶ αἰδοῖα δύο, καὶ τἆλλα πάντα ὡς ἀπὸ τούτων ἄν τις εἰκάσειεν. Ἐπορεύετο δέ, καὶ ὀρθὸν ὥσπερ νῦν ὁποτέρωσε βουληθείη, καὶ ὁπότε ταχὺ ὁρμήσειε θεῖν ὥσπερ οἱ κυβιστῶντες καὶ εἰς ὀρθὸν τὰ σκέλη περιφερόμενοι κυβιστῶσι κύκλῳ· ὀκτὼ τότε οὖσι τοῖς μέλεσιν ἀπερειδόμενοι, ταχὺ ἐφέροντο κύκλῳ. Ἦν δὲ διὰ
b ταῦτα τρία τὰ γένη καὶ τοιαῦτα, ὅτι τὸ μὲν ἄρρεν ἦν τοῦ ἡλίου τὴν ἀρχὴν ἔκγονον, τὸ δὲ θῆλυ τῆς γῆς, τὸ δὲ ἀμφοτέρων μετέχον τῆς σελήνης, ὅτι καὶ ἡ σελήνη ἀμφοτέρων μετέχει· περιφερῆ δὲ δὴ ἦν, καὶ αὐτὰ καὶ ἡ πορεία αὐτῶν, διὰ τὸ τοῖς γονεῦσιν ὅμοια εἶναι. Ἦν οὖν τὴν ἰσχὺν δεινὰ

e 1 καὶ (et Eus.) : om. Stob.^{n} || ὂν : om. Eus. Stob. || οὗ B^{2} (em.) : οὐ B || 2 ἓν : om. T Eus. Stob. Schanz || 3 τοῦ τε : τοῦτο Stob.^{n} || 4 θήλεος (et Stob.) : τοῦ θ. Eus. Blass || δ' : δὲ BY Burnet || ἐν ὀνείδει : ενονειδει B ἓν ὂν εἴδ. B^{2} Stob.^{n} ἐνονείδει W || 6 εἶδος, στρογγύλον sic distinxi : post στρ. dist. edd. || καὶ : τε κ. Stob. Blass || 7 εἶχε : -εν TW Schanz || σκέλη τὰ (et Stob.) : τὰ σκ. Hirschig σκ. δὲ τὰ Blass || χερσί : -σίν B Schanz Burnet || **190 a** 1 δύο (et Stob.) : δυ' BY Schanz Burnet || 2 δ' : δὲ W || κειμένοις : om. Stob. || 4 ὡς : ὅσα Stob. || 5 ὁποτέρωσε : -ρως Stob. || ὁρμήσειε : -ειεν TW Schanz Burnet || 6 θεῖν (et Stob.) : ἐλθεῖν TW || καὶ (et Stob.) : om. Paris. 1810 Hermann Iahn Schanz secl. Hug || ὀρθὸν τὰ : ὀρθὰ ὄντα Stob. ὀρθὰ Blass || 7 κυβιστῶσι κύκλῳ (et Stob.) : del. Sauppe secl. Iahn Schanz Hug || ὀ. ... 8 κύκλῳ : om. W || ὀκτὼ τότε : τ. ὀ. T Stob. || 8 ἀπερειδόμενοι B^{2} (em. et οι s. u.) (et Stob.) : ἅπερ εἴδομεναι sic B ἐπερειδ. Stephan. || **b** 2 ἀμφοτέρων (et Stob.) : ἀμφότερον T || 3 ὅτι ... μετέχει : secl. Iahn || 4 μετέχει : μετεῖχεν Stob. Blass || περιφερῆ (et Stob.) : καὶ π. Blass || δὴ : om. Stob.^{n} || αὐτῶν (et Stob.) : del. Blass.

noch ein drittes dazu, welches das gemeinschaftliche war von e
diesen beiden, dessen Name auch noch übrig ist, es selbst
aber ist verschwunden. Mannweiblich nämlich war damals
das eine, Gestalt und Benennung zusammengesetzt aus jenen
beiden, dem männlichen und dem weiblichen, jetzt aber ist
es nur noch ein Name, der zum Schimpf gebraucht wird.
Ferner war die ganze Gestalt eines jeden Menschen rund,
so daß Rücken und Brust im Kreise herumgingen. Und vier
Hände hatte jeder und Schenkel ebensoviel wie Hände und
zwei Angesichter auf einem kreisrunden Halse einander 190 a
genau ähnlich und einen gemeinschaftlichen Kopf für beide
einander gegenüberstehenden Angesichter und vier Ohren,
auch zweifache Schamteile und alles übrige, wie es sich
hieraus ein jeder weiter ausbilden kann. Er ging aber nicht
nur aufrecht wie jetzt, nach welcher Seite er wollte, sondern
auch wenn er schnell wohin strebte, so konnte er, wie die
Radschlagenden jetzt noch, indem sie die Beine gerade im
Kreise herumdrehen, das Rad schlagen, ebenso, auf seine
acht Gliedmaßen gestützt, sich sehr schnell im Kreise fort-
bewegen. Diese drei Geschlechter gab es aber deshalb, weil b
das männliche ursprünglich der Sonne Ausgeburt war und
das weibliche der Erde, das an beidem teilhabende aber des
Mondes, der ja auch selbst an beiden teilhat.[36] Und kreis-
förmig waren sie selbst und ihr Gang, um ihren Erzeugern
ähnlich zu sein. An Kraft und Stärke nun waren sie gewal-

[36] „an beiden" könnte heißen: an Erde und Sonne oder an beiden Geschlechtern (was ein orphischer Hymnos belegt).

καὶ τὴν ῥώμην, καὶ τὰ φρονήματα μεγάλα εἶχον· ἐπε-
χείρησαν δὲ τοῖς θεοῖς, καὶ ὃ λέγει Ὅμηρος περὶ Ἐφιάλ-
του τε καὶ Ὤτου, περὶ ἐκείνων λέγεται, τὸ εἰς τὸν
c οὐρανὸν ἀνάβασιν ἐπιχειρεῖν ποιεῖν, ὡς ἐπιθησομένων
τοῖς θεοῖς.

« Ὁ οὖν Ζεὺς καὶ οἱ ἄλλοι θεοὶ ἐβουλεύοντο ὅ τι χρὴ
αὐτοὺς ποιῆσαι, καὶ ἠπόρουν· οὔτε γὰρ ὅπως ἀποκτείναιεν
εἶχον καί, ὥσπερ τοὺς Γίγαντας, κεραυνώσαντες τὸ γένος
ἀφανίσαιεν (αἱ τιμαὶ γὰρ αὐτοῖς καὶ ἱερὰ τὰ παρὰ τῶν
ἀνθρώπων ἠφανίζετο), οὔτε ὅπως ἐῷεν ἀσελγαίνειν. Μόγις
δὴ ὁ Ζεὺς ἐννοήσας λέγει ὅτι· « Δοκῶ μοι, ἔφη, ἔχειν
« μηχανὴν ὡς ἂν εἴέν τε ἄνθρωποι καὶ παύσαιντο τῆς
d « ἀκολασίας, ἀσθενέστεροι γενόμενοι. Νῦν μὲν γὰρ αὐτούς,
« ἔφη, διατεμῶ δίχα ἕκαστον, καὶ ἅμα μὲν ἀσθενέστεροι
« ἔσονται, ἅμα δὲ χρησιμώτεροι ἡμῖν διὰ τὸ πλείους τὸν
« ἀριθμὸν γεγονέναι. Καὶ βαδιοῦνται ὀρθοὶ ἐπὶ δυοῖν σκε-
« λοῖν· ἐὰν δ' ἔτι δοκῶσιν ἀσελγαίνειν καὶ μὴ θέλωσιν
« ἡσυχίαν ἄγειν, πάλιν αὖ, ἔφη, τεμῶ δίχα, ὥστ' ἐφ' ἑνὸς
« πορεύσονται σκέλους ἀσκωλίζοντες. » Ταῦτα εἰπών,
ἔτεμνε τοὺς ἀνθρώπους δίχα, ὥσπερ οἱ τὰ ὄα τέμνοντες
e καὶ μέλλοντες ταριχεύειν, ἢ ὥσπερ οἱ τὰ ᾠὰ ταῖς θριξίν.

b 7 θεοῖς : θείοις Stob. || 8 τε καὶ : καὶ W Stob.^{n} || **c** 1 ὡς ... 2 θεοῖς : post Ὤτου transp. Steinhart || 3 οὖν : γοῦν Stob.^{n} || 4 ἀποκτείναιεν et 6 ἀφανίσαιεν (et Stob.) : -ειεν utrimq. W || 6 γὰρ (et Stob.) : γὰρ ἂν Ast Schanz || ἱερὰ : τὰ ἱ. Stob. Iahn || 7 ἐῷεν : ἐῶμεν Y || μόγις : -λις Y Stob. || 8 δὴ : δὲ Stob. || ἔφη ἔχειν : ἔχ. ἔφ. W ἔφη om. Stob. || 9 εἴέν τε : ἰῶνται Stob.^{n} || ἄνθρωποι Vögelin : ἄνθρ. BTY Stob. compend. W || **d** 1 ἀσθενέστεροι γενόμενοι (et Stob.) : secl. Kreyenbühl Schanz Hug || μὲν : δὲ Stob.^{n} || 2 δίχα (et Stob.) : ἕνα Y || 5 δ' ἔτι Vat. 229 (et Stob. δὲ ἔ.) : δετι B δέ τι B^{2} cett. || θέλωσιν (et Stob.) : ἐθέ. T -λουσιν W 'θέλωσιν Baiter Iahn Burnet || 7 ἀσκωλίζοντες : -ιάζοντες WY Burnet ἀσχαλίζ. Stob.^{n} || ταῦτα (et Stob.) : ταῦτ' Eus. || 8 ὄα (et Pollux Tim. *Lex.*) : ᾠα BT ᾠὰ WY Stob. Photius Suid. ὦτα Eus. || τέμνοντες καὶ (et Eus. Stob.) : del. Kreyenbühl καὶ del. Badham secl. Schanz || **e** 1 ταριχεύειν (et Suid.) : -εύσειν Photius || ἢ ... θριξίν (et leg. Plut. *Amat.* 24, 770 b) : del. Sydenham Rettig secl. Schanz Hug || οἱ (et Stob.) : om. B Schanz.

rig und hatten auch große Gedanken,[t—t] und was Homeros
vom Ephialtes und Otos sagt,[37] das ist von ihnen zu verste-
hen, daß sie sich einen Zugang zum Himmel bahnen wollten, c
um die Götter anzugreifen.

Zeus also und die anderen Götter berieten, was sie ihnen
tun sollten, und wußten nicht was. Denn es war weder tun-
lich, sie zu töten und wie die Giganten sie niederdonnernd
das ganze Geschlecht wegzuschaffen – denn so wären ihnen
auch die Ehrenbezeugungen und die Opfer der Menschen
mit weggeschafft worden – noch konnten sie sie weiter fre-
veln lassen. Mit Mühe endlich hatte sich Zeus etwas erson-
nen und sagte: Ich glaube nun ein Mittel zu haben, wie es
noch weiter Menschen geben kann und sie doch aufhören
müssen mit ihrer Ausgelassenheit, wenn sie nämlich schwä-
cher geworden sind. Denn jetzt, sprach er, will ich sie jeden d
in zwei Hälften zerschneiden, so werden sie schwächer sein
und doch zugleich uns nützlicher, weil ihrer mehr geworden
sind. Und aufrecht sollen sie gehen auf zwei Beinen. Sollte
ich aber merken, daß sie noch weiter freveln und nicht Ruhe
halten wollen, so will ich sie, sprach er, noch einmal zer-
schneiden, und sie mögen dann auf einem Beine "fortkom-
men wie Kreisel." Dies gesagt, zerschnitt er die Menschen in
zwei Hälften, wie wenn man Früchte zerschneidet, um sie
einzumachen, oder wenn sie Eier mit Haaren zerschneiden. e

[t]und sie wollten sich mit den Göttern messen,[t]
"hüpfend fortkommen."

[37] Odyssee XI 305–320.

Ὅντινα δὲ τέμοι, τὸν Ἀπόλλω ἐκέλευε τό τε πρόσωπον μεταστρέφειν καὶ τὸ τοῦ αὐχένος ἥμισυ πρὸς τὴν τομήν, ἵνα, θεώμενος τὴν αὑτοῦ τμῆσιν, κοσμιώτερος εἴη ὁ ἄνθρωπος· καὶ τἆλλα ἰᾶσθαι ἐκέλευεν. Ὁ δὲ τό τε πρόσωπον μετέστρεφε καί, συνέλκων πανταχόθεν τὸ δέρμα ἐπὶ τὴν γαστέρα νῦν καλουμένην, ὥσπερ τὰ σύσπαστα βαλλάντια, ἓν στόμα ποιῶν ἀπέδει κατὰ μέσην τὴν γαστέρα, ὃ δὴ τὸν ὀμφαλὸν καλοῦσιν. Καὶ τὰς μὲν ἄλλας ῥυτίδας τὰς
191 a πολλὰς ἐξελέαινε καὶ τὰ στήθη διήρθρου, ἔχων τι τοιοῦτον ὄργανον οἷον οἱ σκυτοτόμοι περὶ τὸν καλάποδα λεαίνοντες τὰς τῶν σκυτῶν ῥυτίδας· ὀλίγας δὲ κατέλιπε, τὰς περὶ αὐτὴν τὴν γαστέρα καὶ τὸν ὀμφαλόν, μνημεῖον εἶναι τοῦ παλαιοῦ πάθους.

« Ἐπειδὴ οὖν ἡ φύσις δίχα ἐτμήθη, ποθοῦν ἕκαστον τὸ ἥμισυ τὸ αὑτοῦ, ξυνῄει. Καὶ περιβάλλοντες τὰς χεῖρας καὶ συμπλεκόμενοι ἀλλήλοις, ἐπιθυμοῦντες συμφῦναι, ἀπέθνη-
b σκον ὑπὸ λιμοῦ καὶ τῆς ἄλλης ἀργίας, διὰ τὸ μηδὲν ἐθέλειν χωρὶς ἀλλήλων ποιεῖν. Καί, ὁπότε τι ἀποθάνοι τῶν ἡμίσεων, τὸ δὲ λειφθείη, τὸ λειφθὲν ἄλλο ἐζήτει καὶ συνεπλέκετο,

e 2 Ἀπόλλω (et Stob.) : -ωνα Eus. Stob.^{n} || ἐκέλευε τό (et Eus.) : -ευεν τό B Stob. -εύετο B^{2} (acc. in υ pos. et ν exp.) -ευσε τό Stob.^{n} || 3 καὶ τὸ ... ἥμισυ (et Eus. Stob.) : del. Sauppe κατὰ τὸ ... ἥ. Vermehren || 4 θεώμενος : θεό. W || αὑτοῦ : αὐ. BWY Eus. Stob. || τμῆσιν : πρότμ. Naber || 7 σύσπαστα : συσπαστὰ BY || βαλλάντια B^{2} (s. u.) : βαλάν. WY Stob.^{n} βάλλοντα B || 8 ἀπέδει : -δυ Y -δησε Stob.^{n} || μέσην : μέσον Stob.^{n} || 9 τὸν (et Stob.) : del. Hommel || καλοῦσιν : -σι TWY Burnet || τὰς alt. : om. Stob. || **191 a 2** ὄργανον (et Stob.) : del. Creuzer || καλάποδα (et Poll. X 141 Stob.) : καλόπ. BWY Poll. in al. locis || 6 ἐπειδὴ (et Priscian.) : ἐπεὶ Stob.^{n} || ἡ φύσις (et Priscian.) : ἡ φ. αὐτῶν uel ἡμῶν Ast || ποθοῦν ἕκαστον : ἐπόθουν ἕκ. Iahn ἐπ. ἕκαστοι Vermehren || τὸ ἥμισυ (et Priscian.) : τῷ ἡμίσει Vermehren || 7 τὸ αὑτοῦ : τὸ αυ. B τὸ αὐ. WY τοῦ (et τὸ) αὐτοῦ Stob. τῷ αὐ. Vermehren Usener Schanz τῷ αὐ. ἡμίσει Richards (cf. 192 b 7, 205 d 10) τε Priscian. (αὐ. om.) || ξυνῄει (et Priscian. Stob.) : συν. Burnet ξυνεῖναι BY Iahn Schanz del. Rettig || 8 συμπλεκόμενοι (et Priscian.) : ἀμπλ. Stob.^{n} || συμφῦναι : ξυμφ. Priscian. Stob. || **b 1** λιμοῦ : τοῦ λ. T Stob. τῆς λ. W Stephan. || 3 τὸ δὲ B^{2} (em.) : τόδε B || συνεπλέκετο : ξυνεπέπλεκτο Stob.^{n}.

Sobald er aber einen zerschnitten hatte, befahl er dem Apollon, ihm das Gesicht und den halben Hals herumzudrehen nach dem Schnitte hin, damit der Mensch, seine Zerschnittenheit vor Augen habend, sittsamer würde, und das übrige befahl er ihm auch zu heilen. Dieser also drehte ihm das Gesicht herum, zog ihm die Haut von allen Seiten über das, was wir jetzt den Bauch nennen, herüber, und, wie wenn man einen Beutel zusammenzieht, faßte er es in eine Mündung zusammen und band sie mitten auf dem Bauche ab, was wir jetzt den Nabel nennen. Die übrigen Runzeln glättete er meistenteils aus und fügte die Brust einpassend zu- 191 a
sammen, mit einem solchen Werkzeuge, womit die Schuster über dem Leisten die Falten aus dem Leder ausglätten, und nur wenige ließ er stehen um den Bauch und Nabel zum Denkzeichen des alten Unfalls.

Nachdem nun die Gestalt entzweigeschnitten war, sehnte sich jedes nach seiner andern Hälfte, und so kamen sie zusammen, umfaßten sich mit den Armen und schlangen sich ineinander, und über dem Begehren, zusammenzuwachsen, starben sie aus Hunger und sonstiger Fahrlässigkeit, b
weil sie nichts getrennt voneinander tun wollten. War nun die eine Hälfte tot und die andere blieb übrig, so suchte sich die übriggebliebene eine andere und umschlang sie,

εἴτε γυναικὸς τῆς ὅλης ἐντύχοι ἡμίσει (ὃ δὴ νῦν γυναῖκα καλοῦμεν), εἴτε ἀνδρός· καὶ οὕτως ἀπώλλυντο. Ἐλεήσας δὲ ὁ Ζεύς, ἄλλην μηχανὴν πορίζεται καὶ μετατίθησιν αὐτῶν τὰ αἰδοῖα εἰς τὸ πρόσθεν· τέως γὰρ καὶ ταῦτα ἐκτὸς
c εἶχον, καὶ ἐγέννων καὶ ἔτικτον, οὐκ εἰς ἀλλήλους, ἀλλ' εἰς γῆν ὥσπερ οἱ τέττιγες. Μετέθηκέ τε οὖν οὕτω αὐτῶν εἰς τὸ πρόσθεν καὶ διὰ τούτων τὴν γένεσιν ἐν ἀλλήλοις ἐποίησεν, διὰ τοῦ ἄρρενος ἐν τῷ θήλει· τῶνδε ἕνεκα ἵνα, ἐν τῇ συμπλοκῇ ἅμα μέν, εἰ ἀνὴρ γυναικὶ ἐντύχοι, γεννῷεν καὶ γίγνοιτο τὸ γένος, ἅμα δ', εἰ καὶ ἄρρην ἄρρενι, πλησμονὴ γοῦν γίγνοιτο τῆς συνουσίας καὶ διαπαύοιντο καὶ ἐπὶ τὰ ἔργα τρέποιντο καὶ τοῦ ἄλλου βίου ἐπιμελοῖντο.
d Ἔστι δὴ οὖν ἐκ τόσου ὁ ἔρως ἔμφυτος ἀλλήλων τοῖς ἀνθρώποις, καὶ τῆς ἀρχαίας φύσεως συναγωγεύς, καὶ ἐπιχειρῶν ποιῆσαι ἓν ἐκ δυοῖν καὶ ἰάσασθαι τὴν φύσιν τὴν ἀνθρωπίνην.

« Ἕκαστος οὖν ἡμῶν ἐστιν ἀνθρώπου σύμβολον, ἅτε τετμημένος, ὥσπερ αἱ ψῆτται, ἐξ ἑνὸς δύο· ζητεῖ δὴ ἀεὶ τὸ αὑτοῦ ἕκαστος σύμβολον. Ὅσοι μὲν οὖν τῶν ἀνδρῶν

b 4 ἡμίσει : ἡμισείας Stob.^{n} || δὴ νῦν : μηδὲ W || 5 εἴτε : εἴτ' TW Schanz || καὶ : om. Stob. || ἀπώλλυντο B^{2} (ω s. u.) : ἀπολλ. B ἀπολλυτο Stob. || **c** 2 τε : δὲ Ast || οὕτω : -ως Y Schanz om. Stob. ὁμοῦ coni. Usener || αὐτῶν (et Stob.) : αυ. B αὐτὰ Paris. 1810 Stephan. del. Rückert secl. Hug αὖ Schanz πάντων coni. Usener αὐτῶν τὰ αἰδοῖα Ficin. ταῦτ' αὐτῶν Bury || 3 εἰς τὸ πρόσθεν : εἰς τὸ -θε W εἰς τὸ ἔμπρ. Stob. secl. Hug || γένεσιν (et Stob.) : γέννησιν Vermehren Iahn Schanz || ἐν : νέαν Stob. || 4 ἐποίησεν : om. Y || διὰ... θήλει : secl. Schanz Hug || 6 γίγνοιτο τὸ γένος (et re uera, Stob.^{n}) : γένοιτο τὸ γ. Stob.^{n} γίγν. γέν. Usener Schanz σῶν (uel ἔτι) γίγν. τὸ γέν. Rückert γόνος γίγν. Hommel γίγν. τόκος Vermehren σώζοιτο τ. γ. Susemihl || ἄρρην : -εν Coislin. 155 Stob. || ἄρρενι : -εν Stob.^{n} || **d** 1 ἐκ τόσου : ἐκτὸς uel ἐντὸς οὗ Stob. || 2 συναγωγεύς : -γωγός Stob. || 3 ἓν : ἕνα Stob. || 5 οὖν : γοῦν Usener || ξύμβολον : σύμβ. Burnet || ἅτε... 7 ξύμβολον W^{2} i. m. : om. W || 6 δὴ : δὲ W || ἀεὶ : αἰ. codd. || 7 αὑτοῦ (et Stob.) : αὐ. WY || ἕκαστος : -τὸν BY Stob.

mochte sie nun auf die Hälfte einer ehemaligen ganzen Frau treffen, was wir jetzt eine Frau nennen, oder auf die eines Mannes, und so kamen sie um. Da erbarmte sich Zeus und gab ihnen ein anderes Mittel an die Hand, indem er ihnen die Schamteile nach vorne verlegte, denn vorher trugen sie auch diese nach außen und erzeugten nicht eines c in dem andern, sondern in die Erde wie die Zikaden.[38] Nun aber verlegte er sie ihnen nach vorne und bewirkte vermittels ihrer das Erzeugen ineinander, in dem weiblichen durch das männliche, deshalb, damit in der Umarmung, wenn der Mann eine Frau träfe, sie zugleich erzeugten und Nachkommenschaft entstände, wenn aber ein Mann den andern, sie doch eine Befriedigung hätten durch ihr Zusammensein und [v]erquickt[v] sich zu ihren Geschäften wenden und, was sonst zum Leben gehört, besorgen könnten. Von so langem her also ist die Liebe zueinander den Menschen d angeboren, um die ursprüngliche Natur wieder herzustellen, und versucht, aus zweien eins zu machen und die menschliche Natur zu heilen.

5.2 *Eros als Verlangen nach der Rückkehr zur ursprünglichen Einheit*

Jeder von uns ist also ein Stück[39] von einem Menschen, da wir ja, zerschnitten wie die Schollen, aus einem zwei geworden sind. Also sucht nun immer [w]jedes[w] sein anderes Stück. Welche Män-

[v]voneinander abließen und [v] [w]jeder[w] v. l.

[38] Wahrscheinlich ist hier an den Legestachel der weiblichen Zikade gedacht.

[39] eigentlich: „ein σύμβολον", die Hälfte eines Würfels, die als Zeichen der Freundschaft aufbewahrt wurde.

παιδεραστής τε καὶ φιλεραστὴς γίγνεται, ἀεὶ τὸ ξυγγενὲς
ἀσπαζόμενος.

« Ὅταν μὲν οὖν καὶ αὐτῷ ἐκείνῳ ἐντύχῃ τῷ αὐτοῦ
ἡμίσει, καὶ ὁ παιδεραστὴς καὶ ἄλλος πᾶς, τότε καὶ θαυ-
c μαστὰ ἐκπλήττονται φιλίᾳ τε καὶ οἰκειότητι καὶ ἔρωτι,
οὐκ ἐθέλοντες, ὡς ἔπος εἰπεῖν, χωρίζεσθαι ἀλλήλων οὐδὲ
σμικρὸν χρόνον. Καὶ οἱ διατελοῦντες μετ᾽ ἀλλήλων διὰ βίου,
οὗτοί εἰσιν οἳ οὐδ᾽ ἂν ἔχοιεν εἰπεῖν ὅ τι βούλονται σφίσι
παρ᾽ ἀλλήλων γίγνεσθαι· οὐδενὶ γὰρ ἂν δόξειε τοῦτ᾽ εἶναι
ἡ τῶν ἀφροδισίων συνουσία, ὡς ἄρα τούτου ἕνεκα ἕτερος
ἑτέρῳ χαίρει ξυνὼν οὕτως ἐπὶ μεγάλης σπουδῆς· ἀλλ᾽ ἄλλο
d τι βουλομένη ἑκατέρου ἡ ψυχὴ δήλη ἐστὶν ὃ οὐ δύναται
εἰπεῖν, ἀλλὰ μαντεύεται ὃ βούλεται καὶ αἰνίττεται. Καὶ εἰ
αὐτοῖς ἐν τῷ αὐτῷ κατακειμένοις ἐπιστὰς ὁ Ἡφαιστος,
ἔχων τὰ ὄργανα, ἔροιτο· « Τί ἔσθ᾽ ὃ βούλεσθε, ὦ ἄνθρωποι,
« ὑμῖν παρ᾽ ἀλλήλων γενέσθαι; » Καὶ εἰ ἀποροῦντας
αὐτοὺς πάλιν ἔροιτο· « Ἆρά γε τοῦδε ἐπιθυμεῖτε ἐν τῷ
« αὐτῷ γενέσθαι ὅτι μάλιστα ἀλλήλοις, ὥστε καὶ νύκτα
« καὶ ἡμέραν μὴ ἀπολείπεσθαι ἀλλήλων; Εἰ γὰρ τούτου
e « ἐπιθυμεῖτε, θέλω ὑμᾶς συντῆξαι καὶ συμφυσῆσαι εἰς τὸ
« αὐτό, ὥστε δύ᾽ ὄντας ἕνα γεγονέναι καί, ἕως τ᾽ ἂν
« ζῆτε, ὡς ἕνα ὄντα κοινῇ ἀμφοτέρους ζῆν, καί, ἐπειδὰν

b 5 ἀεὶ B^2 (ex em. ut uid.) : αἰ. codd. || ξυγγενὲς : συγγ. Burnet || 7 μὲν οὖν (et Stob.) : μέντοι Sauppe μὲν Schanz || καὶ : om. Stob.^{n} || αὐτοῦ : αὐ. WY || 8 θαυμαστὰ (et Stob.^{n}) : -τότατ᾽ Badham || **c** 1 ἐκπλήττονται (et Stob.) : -τα BY || 3 σμικρὸν : ἐπὶ σμ. Stob. || 5 οὐδενὶ Stob. : οὐδὲ Paris. 1810 Iahn Schanz οὐδὲν codd. || δόξειε : -ειεν BTW Schanz Burnet || 6 συνουσία : ξυν. Stob. || 7 ἑτέρῳ : ἑκατέ. Stob. || χαίρει : -ρειν BY || ξυνὼν : συν. Stob. Burnet || **d** 1 ἑκατέρου ἡ ψυχὴ : ἡ ψ. ἑκ. Stob. || 6 ἄρά : ἄρα B || 7 ὅτι ... 8 ἀπολείπεσθαι : om. W || **e** 1 θέλω : ἐθέ. TW Iahn Bury || συντῆξαι : ἐντ. W || συμφυσῆσαι : -φῦσαι B^2 (˜ in υ et αι s. u.) T^2 (σῇ exp. et eras.) W^2 (i. m.) Y cf. Aristot. *Pol.* II 4, 1262 b 13 (cum deterioribus et Synes. *epist.* 151 συμφυῆναι Newmann Susemihl): || 3 ζῆτε ὡς B^2 (ut uid., s. u. ε parum distinctum in η alt., ˜ in pr. η et ʿ in ω): ζητήσεως B ζῆτε Y (ὡς om.).

benliebhaber und ein Liebhaberfreund, indem er immer dem Verwandten anhängt.

Wenn aber einmal einer seine wahre eigene Hälfte an-
trifft, ein Knabenfreund oder jeder andere, dann werden
sie wunderbar entzückt zu freundschaftlicher Einigung und c
Liebe und wollen sozusagen auch nicht die kleinste Zeit von-
einander lassen; und die ihr ganzes Leben lang miteinander
verbunden bleiben, diese sind es, welche auch nicht einmal
zu sagen wüßten, was sie voneinander wollen. Denn dies
kann doch wohl nicht die Gemeinschaft des Liebesgenusses
sein, daß um dessen willen jeder mit so großem Eifer trach-
tete, mit dem andern zusammen zu sein; sondern offenbar
ist, daß die Seele beider etwas anderes wollend, was sie aber d
nicht aussprechen kann, es nur andeutet und zu raten gibt.
Und wenn, indem sie zusammenliegen, Hephaistos vor sie
hinträte, seine Werkzeuge in der Hand, und sie fragte: Was
ist es denn eigentlich, was ihr wollt, ihr Leute, voneinander,
und wenn sie dann nicht zu antworten wüßten, sie weiter
fragte: Begehrt ihr etwa dieses, soviel wie möglich zusam-
men zu sein, daß ihr euch Tag und Nacht nicht verlassen
dürftet? Denn wenn das euer Begehren ist, so will ich euch e
zusammenschmelzen und in eins zusammenschweißen, so daß
ihr statt zweier einer seid, und solange ihr lebt, beide zu-
sammen als einer lebt und, wenn ihr gestorben seid, auch

« ἀποθάνητε, ἐκεῖ αὖ ἐν Ἅιδου ἀντὶ δυοῖν ἕνα εἶναι, κοινῇ
« τεθνεῶτε. Ἀλλ' ὁρᾶτε εἰ τούτου ἐρᾶτε καὶ ἐξαρκεῖ ὑμῖν
« ἂν τούτου τύχητε. » Ταῦτ' ἀκούσας, ἴσμεν ὅτι οὐδ' ἂν
εἷς ἐξαρνηθείη οὐδ' ἄλλο τι ἂν φανείη βουλόμενος, ἀλλ'
ἀτεχνῶς οἴοιτ' ἂν ἀκηκοέναι τοῦτο ὃ πάλαι ἄρα ἐπεθύμει,
συνελθὼν καὶ συντακεὶς τῷ ἐρωμένῳ, ἐκ δυοῖν εἷς γενέσθαι.

« Τοῦτο γάρ ἐστι τὸ αἴτιον, ὅτι ἡ ἀρχαία φύσις ἡμῶν ἦν
αὕτη καὶ ἦμεν ὅλοι· τοῦ ὅλου οὖν τῇ ἐπιθυμίᾳ καὶ διώξει
193 a ἔρως ὄνομα. Καὶ πρὸ τοῦ, ὥσπερ λέγω, ἓν ἦμεν· νυνὶ δέ,
διὰ τὴν ἀδικίαν, διῳκίσθημεν ὑπὸ τοῦ θεοῦ, καθάπερ
Ἀρκάδες ὑπὸ Λακεδαιμονίων. Φόβος οὖν ἔστιν, ἐὰν μὴ
κόσμιοι ὦμεν πρὸς τοὺς θεούς, ὅπως μὴ καὶ αὖθις διασχι-
σθησόμεθα, καὶ περίιμεν ἔχοντες ὥσπερ οἱ ἐν ταῖς στήλαις
καταγραφὴν ἐκτετυπωμένοι, διαπεπρισμένοι κατὰ τὰς ῥῖνας,
γεγονότες ὥσπερ λίσπαι. Ἀλλὰ τούτων ἕνεκα πάντ' ἄνδρα
χρὴ ἅπαντα παρακελεύεσθαι εὐσεβεῖν περὶ θεούς, ἵνα τὰ
b μὲν ἐκφύγωμεν, τῶν δὲ τύχωμεν ὡς ὁ Ἔρως ἡμῖν ἡγεμὼν
καὶ στρατηγός. Ὧι μηδεὶς ἐναντία πραττέτω (πράττει
δ' ἐναντία ὅστις θεοῖς ἀπεχθάνεται)· φίλοι γὰρ γενόμενοι
καὶ διαλλαγέντες τῷ θεῷ, ἐξευρήσομέν τε καὶ ἐντευξό-
μεθα τοῖς παιδικοῖς τοῖς ἡμετέροις αὐτῶν, ὃ τῶν νῦν
ὀλίγοι ποιοῦσι. Καὶ μή μοι ὑπολάβῃ Ἐρυξίμαχος, κωμῳδῶν
τὸν λόγον, ὡς Παυσανίαν καὶ Ἀγάθωνα λέγω (ἴσως μὲν

e 6 ταῦτ': -τα TW || 7 ἄλλο τι : ἄλλο ὅτι TW || 8 ἀτεχνῶς B² (em.) : -νως B ἀτέχνως Y || τοῦτο ὃ : τοῦ οὗ Badham || 9 δυοῖν : -εῖν BTY || 10 τοῦτο γάρ : τούτου ἄρ' F. A. Wolf τούτου γ. Bast || **193 a** 2 διῳκίσθημεν : διεσχίσ. Cornarius || ὑπὸ : ἀπὸ Hommel || 4 διασχισθησόμεθα : -σώμεθα B || 5 περίιμεν : περιίωμεν B² (ω s. u.) || ὃ καταγραφὴν : κατὰ γρ. Ruhnken Iahn Schanz Hug καταγραφῇ Schneider καταγραφὴν post ἐκτετυπ. cum dist. transp. Budaeus || διαπεπρισμένοι : -πρησμένοι BY δίχα πεπρ. Ruhnken || κατὰ... 7 γεγονότες : secl. Iahn[1] || 8 ἅπαντα : -τι Hirschig Iahn Schanz Hug || **b** 1 ὡς : ὧν em. Vatic. 229 Stephan. Hermann Iahn Schanz Hug ὅσων uel ἐν ᾧ coni. Bury || 2 πράττει ... 3 ἀπεχθάνεται : secl. Iahn || 5 ἡμετέροις αὐτῶν : ἡμιτόμοις αὐ. Bast || ὃ ... 6 ποιοῦσι : del. Hirschig || μοι : μου TW Stephan.

dort in der Unterwelt nicht zwei, sondern ein Toter seid. Also seht zu, ob ihr dies meint, zufrieden sein werdet, wenn ihr es erreicht. Dies hörend, das wissen wir gewiß, würde auch nicht einer sich weigern oder zu erkennen geben, daß er etwas anderes wolle, sondern jeder würde eben das gehört zu haben glauben, wonach er immer schon strebte, durch Nahesein und Verschmelzung mit dem Geliebten aus zweien einer zu werden.

Hiervon ist nun dies die Ursache, daß unsere ursprüngliche Beschaffenheit diese war und wir ganz waren, und dies Verlangen eben und Trachten nach dem Ganzen heißt Liebe. Und vor diesem, wie gesagt, waren wir eins, jetzt aber sind 193 a
wir der Ungerechtigkeit wegen von dem Gott auseinandergelegt und verteilt worden, wie die Arkader von den Lakedaimoniern.[41] Es steht also zu besorgen, wenn wir uns nicht sittsam betragen gegen die Götter, daß wir nicht noch einmal zerspalten werden und so herumgehen müssen wie die auf den Grabsteinen ausgeschnittenen, die mitten durch die Nase gespalten sind,[42] und daß wir dann werden wie die geteilten Würfel, von denen die andere Hälfte der andere hat.[43] Aber aus dieser Ursache sollte nun jeder Mann jedem zureden, den Göttern Ehrfurcht zu beweisen, damit wir diesem entgehen, jenes aber erlangen, wozu uns Eros b
führt und befehligt. Dem nun wolle ja niemand entgegenhandeln – es handelt dem aber entgegen, wer sich den Göttern verhaßt macht –, denn sind wir diesen befreundet und mit dem Gotte in gutem Vernehmen, so werden wir jeder unsern eigenen Liebling finden und besitzen, was jetzt nur wenigen begegnet. Und Eryximachos lege es mir nicht, um meine Rede zu verspotten, so aus, als meinte ich den Pausanias und den Agathon – denn vielleicht gehören auch sie

[41] Wahrscheinlich die gewaltsame Aufteilung der arkadischen Stadt Mantineia in vier Dörfer im Jahre 385 (also ein Anachronismus): vgl. Xenophon, Hellenika V 2, 7.
[42] Halbplastiken.
[43] Vgl. 191d und Anm. 39.